


# Ο ΚΟΣΜΟΣ

**Α** - Τίς ἐστιν ὁ Ἅιδης;

- Ὁ Ἅιδης θεός ἐστιν.
- Ποῦ ἐστιν ὁ θεὸς Ἅιδης;
- Οὐ γιγνώσκεις;
- Οὐ γιγνώσκω. Ἆρα ἐν τῷ οὐρανῷ ἐστιν;

- Οὐδαμῶς. Ὁ Ἅιδης οὐκ ἐν τῷ οὐρανῷ, ἀλλὰ ἐν τῷ κάτω κόσμῳ ἐστίν.

- Τίνες εἰσίν ἐν τῷ κάτω κόσμῳ;

- Ἐκεῖ, ἐν τῷ κάτω κόσμῳ, οἱ νεκροί εἰσιν. Καὶ ἡ Περσεφόνη ἐν τῷ κάτω κόσμῳ ἐστίν. Ἡ δὲ Περσεφόνη οὐ μόνον ἐν τῷ κάτω κόσμῳ οἰκεῖ, ἀλλὰ καὶ ἄνω ἐν τῇ γῇ.

- Τίς ἐστιν ὁ Ποσειδῶν;
- Ὁ Ποσειδῶν θεός ἐστιν.
- Ποῦ οἰκεῖ ὁ θεὸς Ποσειδῶν;

- Ὁ θεὸς Ποσειδῶν ἐν τῷ βυθῷ καὶ ἐν τῷ Ὀλύμπῳ οἰκεῖ.

- Τί ἐστιν ὁ Ὄλυμπος;

- Ὁ Ὄλυμπος βουνός ἐστιν. Ἐκεῖ οἰκεῖ ὁ Ζεύς· ὀλύμπιος γὰρ θεός ἐστιν.

— ποῦ ; — ἐν ...

*-ος : -ῳ*
**ὁ** οὐραν**ός** : ἐν **τῷ** οὐραν**ῷ**

↓ κάτω ↔ ἄνω ↑

τίς; / τίνες;

ἐκεῖ ⟶

οὐ μόνον .... ἀλλὰ καί

*-η : -ῃ*
ἡ γ**ῆ** : ἐν **τῇ** γ**ῇ**


ὁ Ἅιδης καὶ οἱ νεκροὶ ἄνθρωποι


οὐ γιγνώσκω


ὁ οἶκος > οἰκεῖ / οἰκοῦσιν


ὁ βυθός >


ὁ βουνός Ὄλυμπος ὀλύμπιος (θεός)


ὁ οὐρανός



creative commons BY NC SA
Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

- Ἆρα καὶ ὁ Ἑρμῆς ὀλύμπιος θεός ἐστιν;

- Ναί, καὶ ὁ Ἑρμῆς ὀλύμπιος θεός ἐστιν. Ἐν τῷ Ὀλύμπῳ οἰκοῦσιν ὁ Ζεύς, ὁ Ἑρμῆς καὶ ἄλλοι ὀλύμπιοι θεοί.

- Τίνες εἰσὶν οἱ ὀλύμπιοι θεοί;

- Οἱ ὀλύμπιοι θεοὶ δώδεκά εἰσιν· ἑπτὰ θεοί, ὁ Ζεύς, ὁ Ποσειδῶν, ὁ Διόνυσος, ὁ Ἀπόλλων, ὁ Ἄρης, ὁ Ἥφαιστος καὶ ὁ Ἑρμῆς, καὶ πέντε θεαί, ἡ Δημήτηρ, ἡ Ἥρα, ἡ Ἀφροδίτη, ἡ Ἄρτεμις καὶ ἡ Ἀθηνᾶ.

ἑπτά + πέντε = δώδεκα

- Ἆρα καὶ οἱ ἄνθρωποι ἐν τῷ Ὀλύμπῳ οἰκοῦσιν;

- Οὐ γὰρ οὖν.

- Οἰκοῦσι δὲ οἱ ἄνθρωποι ἐν τῷ οὐρανῷ;

- Οὐδαμῶς. Οἱ ἄνθρωποι οὔτε ἄνω ἐν τῷ οὐρανῷ, οὔτε κάτω ἐν τῷ βυθῷ οἰκοῦσιν, ἀλλὰ ἐν τῇ γῇ.

- Ἆρα καὶ τὰ ζῷα ἐν τῇ γῇ οἰκοῦσιν;

- Ναί, τὰ μὲν πεζά καὶ τα πτηνά ζῷα ἐν τῇ γῇ οἰκοῦσιν. Τὰ δὲ θαλάσσια ἐν τῷ βυθῷ.






creative commons BY NC SA

Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

**B** - Ποία ἐστὶν ἡ γῆ;

- Ἡ γῆ οὐ μικρά, ἀλλὰ μεγάλη ἐστίν, ὥσπερ δίσκος. Δύο γὰρ ἤπειροι ἐν τῇ γῇ εἰσιν· ἡ Εὐρώπη καὶ ἡ Ἀσία.
- Ἆρα οὐκ ἐστίν ἡ Εὐρώπη γυνή;
- Ναί, ἡ Εὐρώπη καὶ γυνὴ καὶ ἤπειρός ἐστιν.
- Ποῦ ἐστιν ἡ Ἰταλία;
- Ἡ Ἰταλία ἐν τῇ Εὐρώπῃ ἐστίν.
- Ποῦ ἐστιν ἡ Ἑλλάς;
- Καὶ ἡ Ἑλλὰς ἐν τῇ Εὐρώπῃ ἐστίν. Ἡ οὖν Ἑλλάς, ἡ Ἰταλία καὶ ἡ Ἰβηρία ἐν τῇ Εὐρώπῃ εἰσίν.
- Ἆρα καὶ ἡ Συρία ἐν τῇ Εὐρώπῃ ἐστίν;
- Οὐ γὰρ οὖν. Ἡ Συρία οὐκ ἐν τῇ Εὐρώπῃ, ἀλλὰ ἐν τῇ Ἀσίᾳ ἐστίν.
- Ἆρα καὶ ἡ Ἰνδία ἐν τῇ Ἀσίᾳ ἐστίν;
- Ναί, ἡ οὖν Συρία, ἡ Ἀραβία, ἡ Ἰνδία, ἡ Περσίς, ἡ Λιβύη καὶ ἡ Λυδία ἐν τῇ Ἀσίᾳ εἰσίν.
- Ποῦ ἐστὶν ἡ γῆ;
- Ἡ γῆ καὶ ὁ οὐρανὸς ἐν τῷ κόσμῳ εἰσίν.
- Ποῖός ἐστιν ὁ κόσμος;
- Ὁ κόσμος οὐ μικρός, ἀλλὰ μέγας ἐστίν. Ἐν τῷ κόσμῳ γὰρ εἰσὶν ὁ ἥλιος, ἡ σελήνη καὶ τὰ ἄστρα, οὐκ ὀλίγα, ἀλλὰ πολλὰ. Εἰσὶν δὲ ἐν τῷ κόσμῳ καὶ πέντε πλανῆται· ὁ Ἑρμῆς, ἡ Ἀφροδίτη, ὁ Ἄρης, ὁ Ζεὺς καὶ ὁ Κρόνος.
- Ἆρα ἡ Ἀφροδίτη θεὰ οὐκ ἐστίν;
- Ναί, ἡ Ἀφροδίτη καὶ ὀλύμπιος θεὰ καὶ πλανήτης ἐστίν. Ἀλλὰ καὶ ὁ Ἑρμῆς, ὁ Ἄρης, ὁ Κρόνος καὶ ὁ Ζεὺς θεοὶ καὶ πλανῆται εἰσίν.

ποία ; ποῖος;

μεγάλη σελήνη ↔ μικρὰ σελήνη



μέγας δίσκος ↔ μικρὸς δίσκος







ἡ Εὐρώπη



ὁ πλανήτης



οἱ πλανῆται



creative commons BY NC SA

Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

## Γραμματική

ΚΛΙΣΙΣ

- Πρώτη κλίσις (γένος θηλυκόν) ἡ *Εὐρώπ**η**, θάλασσ**α*** / *αἱ θάλασσ**αι***
  (γένος ἀρσενικόν) ὁ *Ἅιδ**ης**, πλανήτ**ης*** / *οἱ πλανήτ**αι***
- Δευτέρα κλίσις (γένος ἀρσενικόν) ὁ *ἥλι**ος**, κόσμ**ος*** / *οἱ κόσμ**οι***
  ( γένος θηλυκόν) ἡ *ἤπειρ**ος*** / *αἱ ἤπειρ**οι***
- Τρίτη κλίσις ( γένος θηλυκόν) ἡ *Ἑλλά**ς***

ΠΤΩΣΙΣ

- Ὀνομαστικὴ καὶ Δοτική

*ἡ Εὐρώπη : ἐν **τῇ** Εὐρώπ**ῃ***
*ὁ κόσμος : ἐν **τῷ** κόσμ**ῳ***

Παραδείγματα

*Ἡ Ἀσία μεγάλη ἐστίν. Ἡ Ἀραβία ἐν τῇ Ἀσίᾳ ἐστίν*
*Ὁ βυθὸς μέγας ἐστίν. Ἐν τῷ βυθῷ οἰκεῖ ὁ Ποσειδῶν*

ΕΠΙΘΕΤΑ

*μικρ**ός** κόσμος, μικρ**ὰ** σελήνη*
***μέγας** κόσμος, **μεγάλη** σελήνη*
*ὀλύμπι**ος** θεός, ὀλύμπι**ος** θεά*

ΡΗΜΑΤΑ

- Α΄ Ζυζηγία (–ω )

*γιγνώσκ**ω*** (πρῶτον πρόσωπον)
*γιγνώσκ**εις*** (δεύτερον πρόσωπον)
*οἰκ**εῖ*** (τρίτον πρόσωπον, ἑνικὸς ἀριθμός)
*οἰκ**οῦσιν*** (τρίτον πρόσωπον, πληθυντικὸς ἀριθμός)

- Β΄ Ζυζυγία (–μι)

*ἐστί(ν)* (ἑνικὸς ἀριθμός)
*εἰσί(ν)* (πληθυντικὸς ἀριθμός)


creative commons BY NC SA Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

ΕΡΩΤΗΜΑΤΙΚΑ

*ποῦ;*
*ποῖος ; ποία ;*
*τίς;* (ἑνικὸς ἀριθμός)
*τίνες;* (πληθυντικὸς ἀριθμός)

ΠΡΟΘΕΣΙΣ (+ Δοτική) *ἐν*

Παραδείγματα

- *Ποῦ ἐστίν ἡ Ἰταλία;* -*Ἡ Ἰταλία ἐν τῇ Εὐρώπῃ ἐστίν.*
- *Ποῦ οἰκοῦσιν οἱ νεκροί;* -*Ἐν τῷ κάτω κόσμῳ.*
- *Ποία ἐστιν ἡ Εὐρώπη;* - *Ἡ Εὐρώπη οὐ μικρά, ἀλλὰ μεγάλη ἐστίν.*
- *Ποῖός ἐστιν ὁ οὐρανός;* - *Ὁ οὐρανός οὐ μικρός, ἀλλὰ μέγας ἐστίν.*
- *Τίς οἰκεῖ ἐν τῷ κάτω κόσμῳ;* - *Ὁ Ἅιδης.*
- *Τίνες εἰσίν οἱ Ὀλύμπιοι θεοί;* -*Οἱ Ὀλύμπιοι θεοὶ εἰσὶν ὁ Ζεύς, ὁ Ἑρμῆς κτλ.*

## Ἄσκησις Α

1. __ κόσμος, ἐν __ κόσμῳ
2. __ γῆ, ἐν __ γῇ
3. μικρ___ δίσκος, μεγ___ δίσκος
4. μικρ___ δίσκοι, μεγαλ___ δίσκοι
5. μικρ___ σελήνη, μεγαλ___ σελήνη
6. μικρ___ Ἀσία
7. μικρ___ ἤπειρος, μεγ____ ἤπειρος
8. μικρ__ ἤπειροι, μεγάλ___ ἤπειροι
9. Ὁ Ἅιδης ἐν τῷ κάτω κόσμ___ οἰκεῖ.
10. Καὶ ἡ Περσεφόνη ἐν τῷ κάτω κόσμῳ οἰκ___ .
11. Οἱ νεκροὶ ἐν τῷ κάτω κόσμῳ οἰκ______.
12. Τίς θεὸς ἐν τῷ βυθ__ οἰκ___ ;


creative commons BY NC SA
Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

13. Ὁ Ποσειδῶν ἐν τ__ βυθῷ οἰκεῖ.
14. Ὁ Ὄλυμπ__ βουν___ ἐστιν.
15. Οἱ ὀλύμπιοι θεοὶ ἐν τῷ Ὀλύμπ___ οἰκοῦσιν.
16. Ὁ Ζεὺς ὀλύμπι___ θεός ἐστιν.
17. Ἡ Ἀφροδίτη ὀλύμπι___ θεά ἐστιν.
18. Ὁ Ζεὺς καὶ ἡ Ἀφροδίτη ὀλύμπι___ θεοί εἰσιν.
19. Οἱ ἄνθρωποι καὶ τὰ ζῷα ἐν τῇ γ__ οἰκοῦσιν.
20. Τὰ θαλάσσι__ ζῷα ἐν τῷ βυθ__ οἰκοῦσιν.
21. Ἡ γῆ οὐ μικρ__ , ἀλλὰ μεγάλ__ ἐστίν.
22. Ἡ Συρία οὐκ ἐν τῇ Εὐρώπ__, ἀλλὰ ἐν τῇ Ασί__ ἐστίν.
23. Ἡ γ__ καὶ ὁ οὐραν__ ἐν τῷ κόσμῳ εἰ____.
24. Ὁ Κρόνος πλανήτ___ ἐν τῷ κόσμῳ ἐστίν.
25. Πέντε εἰσὶν οἱ πλανήτ____· ὁ Κρόνος, ἡ Ἀφροδίτη, ὁ Ἑρμῆς, ὁ Ἄρης καὶ ὁ Ζεύς.
26. Ὁ ἥλιος ἄστρ____ ἐστίν.
27. - Ποῖός ἐστιν ὁ κόσμος; -Ὁ κόσμος μέγ__ ἐστιν, ὥσπερ δίσκος.
28. - Ποί__ ἐστὶν ἡ γῆ; - Οὐ γιγνώσκ____ !

## Ἄσκησις Β

1. - ____ ἐστιν ὁ Διόνυσος;
- Ὁ Διόνυσος _________ θεός ἐστιν.
2. - _____ οἰκεῖ ὁ Διόνυσος;
- Ὁ Διόνυσος ἐν τῷ Ὀλύμπῳ __________.
3. -_____ εἰσὶν οἱ ὀλύμπιοι θεοί;
- Οἱ ὀλύμπιοι θεοὶ ________ εἰσιν.
4. Ὁ ________ βουνός ἐστιν. ______ οἰκοῦσιν οἱ ὀλύμπιοι θεοί.
5. Τὰ θαλάσσια ζῷα ἐν τῷ _______________ οἰκοῦσιν.
6. Ὁ κόσμος οὐ _________, ἀλλὰ __________ ἐστιν.
7. Ὁ ________ ἄστρον ἐστίν.

Λεξεις

*ὁ κόσμος*
*ὁ ἥλιος*
*ὁ οὐρανός*
*ὁ βυθός*
*ὁ βουνός*
*ὁ νεκρός*
*ὁ δίσκος*
*ὁ Ἅιδης*
*ἡ Περσεφόνη*
*ὁ Ὄλυμπος*
*ὁ πλανήτης*
*ἡ ἤπειρος*
*ἡ Εὐρώπη*
*ἡ Ἀσία*
*ἡ Συρία*
*ἡ σελήνη*
*ἡ γῆ*
*τὸ ἄστρον*


creative commons BY NC SA
Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

8. Τὰ ἄστρα, ὁ ________ καὶ ἡ ________ ἐν τῷ _________ εἰσίν.
9. Ἡ γῆ, ἡ Ἀφροδίτη καὶ ὁ Ἑρμῆς ____ τῷ κόσμῳ εἰσίν.
10. Ἡ γῆ οὐ ___________ , ἀλλὰ __________ ἐστιν.
11. Ἡ Εὐρώπη καὶ ἡ Ἀσία δύο _________ εἰσιν.
12. Ἡ Ἑλλὰς ἐν τῇ ____________ ἐστίν.
13. Ἡ _______ οὐκ ἐν τῇ Εὐρώπῃ, ἀλλὰ ἐν τῇ _________ ἐστίν.
14. Ὁ _______ ἐν τῷ κάτω κόσμῳ οἰκεῖ.
15. Οἱ ___________ ἐν τῷ κάτω ______ οἰκοῦσιν.
16. Τὰ _______ ἐν τῷ οὐρανῷ ἐστιν.
17. Ἐν τῷ ________ τὰ ἄστρα, ὁ ἥλιος καὶ ἡ σελήνη εἰσίν.
18. Ὁ κόσμος μέγας ________ ἐστίν.
19. Ὁ Ὄλυμπος μέγας ___________ ἐστιν.
20. - Ποῦ οἰκεῖ ἡ ____________ ; - Ἐν τῷ κάτω κόσμῳ.
21. - Ποῦ ἐστιν ἡ Λυδία; - Οὐ ____________.
22. - ______ ἐστὶν ἡ Εὐρώπη; - Μεγάλη ἐστιν!

*δώδεκα*

*ὀλύμπιος, ον*
*μικρός, ά*
*μέγας μεγάλη*

*οἰκεῖ οἰκοῦσιν*
*γιγνώσκω*

*ποῦ;*
*τίς; τίνες;*
*ποῖος ποία*

*ἐκεῖ*

*ἐν*

**Ἄσκησις Γ**

1. Τίνες εἰσὶν οἱ Ὀλύμπιοι θεοί;

___

2. Τίνες ἄνθρωποι ἐν τῷ κάτω κόσμῳ οἰκοῦσιν;

___

3. Τί ἐστιν ὁ Ὄλυμπος;

___

4. Ποῦ οἰκεῖ ἡ θεὰ Ἀφροδίτη;

___


creative commons BY NC SA
Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

5. Ἆρα ὁ κόσμος μικρός ἐστιν;

______________________________________________

6. Τίνες εἰσίν αἱ δύο ἤπειροι;

______________________________________________

7. Ποῦ ἐστιν ἡ Ἑλλάς;

______________________________________________

8. Ποῦ εἰσιν ἡ Συρία καὶ ἡ Αἴγυπτος;

______________________________________________

9. Τίνες εἰσὶν οἱ πλανῆται;

______________________________________________

10. Τί ἐστιν ὁ Ἑρμῆς;

______________________________________________


creative commons BY NC SA
Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás